διαφωνία. Ἡρακλείδης δ' ἐν τῇ Συναγωγῇ τῶν ἐν μουσικῇ
⟨εὐδοκιμησάντων⟩ (fr. 157 Wehrli) τὴν κιθαρῳδίαν καὶ
τὴν κιθαρῳδικὴν ποίησιν πρῶτόν φησιν Ἀμφίονα ἐπινοῆ-
σαι τὸν Διὸς καὶ Ἀντιόπης, | τοῦ πατρὸς δηλονότι διδά- 1132
ξαντος αὐτόν. πιστοῦται δὲ τοῦτο ἐκ τῆς ἀναγραφῆς τῆς ἐν
Σικυῶνι ἀποκειμένης (FGrH 550 F 1), δι' ἧς τάς τε ἱερείας τὰς
ἐν Ἄργει καὶ τοὺς ποιητὰς καὶ τοὺς μουσικοὺς ὀνομάζει. κατὰ
δὲ τὴν αὐτὴν ἡλικίαν καὶ Λίνον τὸν ἐξ Εὐβοίας θρήνους
πεποιηκέναι λέγει, καὶ Ἄνθην τὸν ἐξ Ἀνθηδόνος τῆς
Βοιωτίας ὕμνους, καὶ Πίερον τὸν ἐκ Πιερίας τὰ περὶ τὰς
Μούσας ποιήματα· ἀλλὰ καὶ Φιλάμμωνα τὸν Δελφὸν Λη-
τοῦς τε ⟨πλάνας⟩ καὶ Ἀρτέμιδος καὶ Ἀπόλλωνος γένεσιν
δηλῶσαι ἐν μέλεσι, καὶ χοροὺς πρῶτον περὶ τὸ ἐν Δελφοῖς
ἱερὸν στῆσαι· Θάμυριν δὲ τὸ γένος Θρᾷκα εὐφωνότερον
καὶ ἐμμελέστερον πάντων τῶν τότε ᾆσαι, ὡς ταῖς Μού- B
σαις κατὰ τοὺς ποιητὰς εἰς ἀγῶνα καταστῆναι· πεποιη-
κέναι δὲ τοῦτον ἱστορεῖται Τιτάνων πρὸς τοὺς θεοὺς πό-
λεμον· γεγονέναι δὲ καὶ Δημόδοκον Κερκυραῖον παλαιὸν
μουσικόν, ὃν πεποιηκέναι Ἰλίου τε πόρθησιν καὶ Ἀφροδί-
της καὶ Ἡφαίστου γάμον· ἀλλὰ μὴν καὶ Φήμιον Ἰθακή-
σιον νόστον τῶν ἀπὸ Τροίας μετ' Ἀγαμέμνονος ἀνακο-
μισθέντων ποιῆσαι. οὐ λελυμένην δ' εἶναι τῶν προειρη-
μένων τὴν τῶν ποιημάτων λέξιν καὶ μέτρον οὐκ ἔχουσαν,
ἀλλὰ καθάπερ ⟨τὴν⟩ Στησιχόρου τε καὶ τῶν ἀρχαίων
μελοποιῶν, οἳ ποιοῦντες ἔπη τούτοις μέλη περιετίθεσαν· C
καὶ γὰρ τὸν Τέρπανδρον ἔφη κιθαρῳδικῶν ποιητὴν ὄντα